πρὸς ΕΖ· διελόντι ἄρα ἐστὶν ὡς ἡ ΓΔ πρὸς ΒΔ, οὕτως
ἡ ΘΖ πρὸς ΖΕ· ἀνάπαλιν ὡς ἡ ΘΖ πρὸς ΖΕ, οὕτως
ἡ ΚΖ πρὸς ΚΕ· καὶ ὡς ἄρα ἡ ΘΚ πρὸς ὅλην τὴν ΚΖ
ἐστὶν ὡς ἡ ΖΚ πρὸς ΚΕ· ὥσπερ ἄρα ἓν τῶν ἡγουμένων — διὰ τὸ ιβ΄ τοῦ ε΄
πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγού-
μενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὡς δὲ ἡ ΚΖ πρὸς
ΚΕ, οὕτως ἐστὶν ἡ ΓΔ πρὸς ΔΒ· καὶ ὡς ἄρα ἡ ΘΚ
πρὸς ὅλην τὴν ΚΖ, οὕτως ἡ ΓΔ πρὸς ΔΒ. σύμμετρον δὲ
τὸ ἀπὸ τῆς ΓΔ τῷ ἀπὸ τῆς ΔΒ· σύμμετρον ἄρα ἐστὶ
καὶ τὸ ἀπὸ τῆς ΘΚ τῷ ἀπὸ τῆς ΚΖ. καί ἐστιν ὡς τὸ ἀ-
πὸ τῆς ΘΚ πρὸς τὸ ἀπὸ τῆς ΚΖ, οὕτως ἡ ΘΚ πρὸς
τὴν ΚΕ· ἐπεὶ αἱ τρεῖς αἱ ΘΚ, ΚΖ, ΚΕ ἀνάλογόν εἰσι.
σύμμετρος ἄρα ἐστὶν ἡ ΘΚ τῇ ΚΕ μήκει· ὥστε καὶ ἡ ΘΕ
τῇ ΕΚ σύμμετρός ἐστι μήκει. καὶ ἐπεὶ τὸ ἀπὸ τῆς Α ἴ-
σον ἐστὶ τῷ ὑπὸ τῶν ΕΘ, ΒΔ, ῥητὸν δέ ἐστι τὸ ἀπὸ τῆς
Α, ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΕΘ, ΒΔ· καὶ παρὰ ῥητὴν
τὴν ΒΔ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΘ καὶ σύμμε-
τρος τῇ ΒΔ μήκει· ὥστε καὶ ἡ σύμμετρος αὐτῇ ἡ ΕΚ
ῥητή ἐστι καὶ σύμμετρος τῇ ΒΔ μήκει. ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΓΔ
πρὸς ΔΒ, οὕτως ἡ ΖΚ πρὸς ΚΕ· αἱ δὲ ΓΔ, ΔΒ δυ-
νάμει μόνον εἰσὶ σύμμετροι· καὶ αἱ ΖΚ, ΚΕ ἄρα δυνάμει
μόνον εἰσὶ σύμμετροι. ῥητὴ δέ ἐστιν ἡ ΚΕ καὶ σύμμετρος
τῇ ΒΔ μήκει· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΚΖ καὶ σύμμετρος
τῇ ΓΔ μήκει· αἱ ΖΚ, ΚΕ ἄρα ῥηταί εἰσι δυνάμει μό-
νον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΕΖ. ἤτοι δὲ ἡ — διὰ τὸ ογ΄
ΓΔ τῆς ΔΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυ-

ἐδείχθη ὡς ἡ ΓΔ πρὸς ΔΒ οὕτως
ἡ ΖΚ πρὸς ΚΕ· ἀλλὰ καὶ ὡς ἡ ΓΔ
πρὸς ΔΒ οὕτως ἡ ΘΚ πρὸς ΚΖ· τρεῖς οὖν
εὐθεῖαι ἀνάλογον· πρώτη μὲν
ἡ ΘΚ, δευτέρα δὲ ἡ ΚΖ, τρίτη
ἡ ΚΕ· ἔστιν οὖν ὡς τὸ ἀπὸ τῆς πρώτης
πρὸς τὸ ἀπὸ τῆς δευτέρας εἶδος οὕτως ἡ πρώ-
τη πρὸς τὴν τρίτην· τουτέστιν ὡς
τὸ ἀπὸ ΘΚ πρὸς τὸ ἀπὸ ΚΖ οὕτως ἡ ΘΚ
πρὸς ΚΕ:-

τῇ ἢ τῷ ἀπὸ ἀσυμμέτρου· εἰ μὲν οὖν ἡ ΓΔ τῆς ΔΒ μεῖζον
δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΚΖ τῆς ΚΕ
μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· καὶ εἰ μὲν
σύμμετρός ἐστιν ἡ ΓΔ τῇ ἐκκειμένῃ ῥητῇ μήκει, καὶ
ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ,
καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ· εἰ δὲ ἡ ΓΔ τῆς ΔΒ μεῖζον δύ-
ναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ, καὶ ἡ ΖΚ τῆς ΚΕ
μεῖζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ· καὶ εἰ
μὲν ἡ ΓΔ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ μήκει,
καὶ ἡ ΖΚ· εἰ δὲ ἡ ΒΔ, καὶ ἡ ΚΕ· εἰ δὲ οὐδετέρα τῶν ΓΔ, ΔΒ,
καὶ οὐδετέρα τῶν ΖΚ, ΚΕ· ὥστε ἀποτομή ἐστιν ἡ ΖΕ,
ἧς τὰ ὀνόματα τὰ ΖΚ, ΚΕ σύμμετρά ἐστι τοῖς τῆς ἐκ
δύο ὀνομάτων
ὀνόμασι τοῖς
ΓΔ, ΔΒ· καὶ ἐν
τῷ αὐτῷ λό-
γῳ καὶ τὴν αὐ-
τὴν τάξιν ἔχει
τῇ ΒΓ. ὅπερ
ἔδει δεῖξαι:-



Τὸ ἀπὸ ῥητῆς παρὰ ἀποτομὴν παραβαλλόμενον πλά-
τος ποιεῖ τὴν ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα
σύμμετρά ἐστι τοῖς τῆς ἀποτομῆς ὀνόμασι καὶ ἐν τῷ
αὐτῷ λόγῳ· ἔτι δὲ ἡ γινομένη ἐκ δύο ὀνομάτων
τὴν αὐτὴν τάξιν ἔχει τῇ ἀποτομῇ. ἔστω ῥητὴ μὲν
ἡ Α, ἀποτομὴ δὲ ἡ ΒΔ, καὶ τῷ ἀπὸ τῆς Α ἴσον ἔστω

BIBLIOTHECA BODLEIANA